κάρπωμα τῷ κυρίῳ· περὶ πλημμελείας ἐστίν. 6πᾶς ἄρσην ἐκ τῶν 6
ἱερέων ἔδεται αὐτά, ἐν τόπῳ ἁγίῳ ἔδονται αὐτά· ἅγια ἁγίων ἐστίν.
7ὥσπερ τὸ περὶ τῆς ἁμαρτίας, οὕτω καὶ τὸ τῆς πλημμελείας, νό- 7
μος εἷς αὐτῶν· ὁ ἱερεύς, ὅστις ἐξιλάσεται ἐν αὐτῷ, αὐτῷ ἔσται.
8καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλοκαύτωμα ἀνθρώπου, τὸ δέρμα τῆς 8
ὁλοκαυτώσεως, ἧς αὐτὸς προσφέρει, αὐτῷ ἔσται. 9καὶ πᾶσα θυσία, 9
ἥτις ποιηθήσεται ἐν τῷ κλιβάνῳ, καὶ πᾶσα, ἥτις ποιηθήσεται ἐπ᾽
ἐσχάρας ἢ ἐπὶ τηγάνου, τοῦ ἱερέως τοῦ προσφέροντος αὐτήν, αὐ-
τῷ ἔσται. 10καὶ πᾶσα θυσία ἀναπεποιημένη ἐν ἐλαίῳ καὶ μὴ ἀνα- 10
πεποιημένη πᾶσι τοῖς υἱοῖς Ααρων ἔσται, ἑκάστῳ τὸ ἴσον.
11Οὗτος ὁ νόμος θυσίας σωτηρίου, ἣν προσοίσουσιν κυρίῳ. 11
12ἐὰν μὲν περὶ αἰνέσεως προσφέρῃ αὐτήν, καὶ προσοίσει ἐπὶ τῆς 12
θυσίας τῆς αἰνέσεως ἄρτους ἐκ σεμιδάλεως ἀναπεποιημένους ἐν
ἐλαίῳ, λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ καὶ σεμίδαλιν πεφυ-
ραμένην ἐν ἐλαίῳ· 13ἐπ᾽ ἄρτοις ζυμίταις προσοίσει τὰ δῶρα αὐτοῦ 13
ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίου. 14καὶ προσάξει ἓν ἀπὸ πάντων τῶν 14
δώρων αὐτοῦ ἀφαίρεμα κυρίῳ· τῷ ἱερεῖ τῷ προσχέοντι τὸ αἷμα
τοῦ σωτηρίου, αὐτῷ ἔσται. 15καὶ τὰ κρέα θυσίας αἰνέσεως σωτη- 15
ρίου αὐτῷ ἔσται καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται, βρωθήσεται· οὐ κατα-
λείψουσιν ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωί. 16κἂν εὐχή, ἢ ἑκούσιον θυσιάζῃ 16
τὸ δῶρον αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ προσαγάγῃ τὴν θυσίαν αὐτοῦ, βρω-
θήσεται καὶ τῇ αὔριον· 17καὶ τὸ καταλειφθὲν ἀπὸ τῶν κρεῶν τῆς 17
θυσίας ἕως ἡμέρας τρίτης ἐν πυρὶ κατακαυθήσεται. 18ἐὰν δὲ φα- 18
γὼν φάγῃ ἀπὸ τῶν κρεῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ, οὐ δεχθήσεται αὐ-
τῷ τῷ προσφέροντι αὐτό, οὐ λογισθήσεται αὐτῷ, μίασμά ἐστιν·
ἡ δὲ ψυχή, ἥτις ἐὰν φάγῃ ἀπ᾽ αὐτοῦ, τὴν ἁμαρτίαν λήμψεται. 19καὶ 19
κρέα, ὅσα ἂν ἅψηται παντὸς ἀκαθάρτου, οὐ βρωθήσεται, ἐν πυρὶ
κατακαυθήσεται. πᾶς καθαρὸς φάγεται κρέα. 20ἡ δὲ ψυχή, ἥτις ἐὰν 20
φάγῃ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστιν κυρίου,
καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτοῦ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ
λαοῦ αὐτῆς. 21καὶ ψυχή, ἣ ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρ- 21
του ἢ ἀπὸ ἀκαθαρσίας ἀνθρώπου ἢ τῶν τετραπόδων τῶν ἀκαθάρ-
των ἢ παντὸς βδελύγματος ἀκαθάρτου καὶ φάγῃ ἀπὸ τῶν κρεῶν
τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστιν κυρίου, ἀπολεῖται ἡ ψυχὴ ἐκεί-
νη ἐκ τοῦ λαοῦ αὐτῆς.
22Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων 23Λάλησον τοῖς 22 23
υἱοῖς Ισραηλ λέγων Πᾶν στέαρ βοῶν καὶ προβάτων καὶ αἰγῶν οὐκ

7 7 αυτω ult. M] > BA || 9 η > A† || 10 αναπεπ. 2° > A† || 12 μεν] + τοι A | λαγανα B*A†] pr. και Bc || 13 το δωρον Ar | θυσιαν Ar || 16 καν] και εαν A | ευχην Bc || 18 λογισεται A† || 19 οσα αν M] οσαν B*(uid.)A†, οσα εαν Bc || 20 ο] ου B*A† || 23 λεγων > B*